# ΥΠΟΘΕΣΙΣ ΗΡΑΚΛΕΙΔΩΝ.

ΙΟΛΑΟΣ υἱὸς μὲν ἦν Ἰφικλέους, ἀδελφιδοῦς δὲ Ἡρακλέους. ἐν νεότητι δ' ἐκείνῳ συστρατευσάμενος, ἐν γήρᾳ τοῖς ἐξ ἐκείνου βοηθὸς εὔνους παρέστη. τῶν γὰρ παίδων ἐξ ἁπάσης ἐλαυνομένων γῆς ὑπ' Εὐρυσθέως, ἔχων αὐτοὺς ἦλθεν εἰς Ἀθήνας. κἀκεῖ προσφυγὼν τοῖς θεοῖς, ἔσχε τὴν ἀσφάλειαν, Δημοφῶντος τῆς πόλεως κρατοῦντος. Κοπρέως δὲ τοῦ Εὐρυσθέως κήρυκος ἀποσπᾷν θέλοντος τοὺς ἱκέτας, ἐκώλυσεν αὐτόν. ὁ δὲ ἀπῆλθε, πόλεμον ἀπειλήσας προσδέχεσθαι. Δημοφῶν δὲ, τούτου μὲν ὠλιγώρου. χρησμῶν δὲ αὐτῷ νικηφόρων γενηθέντων, ἐὰν Δήμητρι τὴν εὐγενεστάτην παρθένων σφάξῃ, τοῖς λόγοις βαρέως ἔσχεν. οὔτε γὰρ ἰδίαν, οὔτε τῶν πολιτῶν τινος θυγατέρα χάριν τῶν ἱκετῶν ἀποκτεῖναι δίκαιον ἡγεῖται. τὴν μαντείαν δὲ προγνοῦσα μία τῶν Ἡρακλέους παίδων Μακαρία, τὸν θάνατον ἑκουσίως ὑπέστη. ταύτην μὲν οὖν εὐγενῶς ἀποθανοῦσαν ἐτίμησεν. αὐτοὶ δὲ τοὺς πολεμίους ἐπιγνόντες παρόντας, εἰς τὴν μάχην ὥρμησαν.